Ακαδημία Αθηνών / Academy of Athens

Legrand, Bibl. Hell. XV-XVI, 1, σ. 262

Τελουντᾶς
Ἀνδρέας

Ὑπὸ τοῦ Legrand περιγράφοντος ἔνθ' ἀν. (ἀρ. 108) τὸ βιβλίον ὑπὸ τίτλον: «Ἀντωνίου Ἐπάρχου τοῦ κερκυραίου, εἰς τὴν Ἑλλάδος καταστροφήν, θρῆνος... Venetiis MDXLIIII» δημοσιεύεται (ἐκ τοῦ Cod. Taurinensis graec. LXIV. c. III. 7, f. 51v) ἡ ἐπιστολή:

«Ἀνδρέας Τελουντᾶς Ἀλεξάνδρῳ τῷ Νεράλῃ εὖ πράττειν. Τὰ σά μοι κομισθέντα γράμματ' ἀναγνοὺς καὶ τὴν περὶ σὲ ἀκούσας ὑγείαν, ὑπερήσθην, Ἀλέξανδρε ἐλλογιμώτατε. Οἶδα δὲ καὶ [ὅτι] τὴν πρὸς ἡμᾶς οὐ λέληθας φιλίαν, οὔτε τοῖς φαύλοις τῶν φίλων ἔοικας· οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον φιλοῦσιν, ἀπόντων δὲ ἀμνημονοῦσιν. Ἴσθι τοιγαροῦν τοιούτους καὶ ἡμᾶς πρὸς σὲ εἶναι, κἂν διὰ γραμμάτων τοῦτό σοι οὐκ ἐπεδειξάμην ἕνεκε τῆς τῶν πλοίων ἀπορίας, ἐπεὶ οὐδὲν ἀπέπλωσεν, [ἐπιμεκ-

./.

τούσης] τῆς τῶν ἀνέμων ἀφορίας. Ὅμως ἑκάστοτε τῇ ἐμῇ συνοικούσῃ διανοίᾳ, καὶ τοὺς ἐνταῦθα ἀφικνουμένους ἀεὶ περὶ σοῦ ἔρομαι καὶ χαίρω ἀκούων σε ὑγιαίνοντα. Πρὸς τούτοις μὲν ἡγούμενος [ὅτι], ὅταν ἐνταῦθα διέτριβες, μᾶλλόν σοι ἤρεσκε τὰ τῶν χριστιανῶν σπουδάζειν ἢ τὰ τῶν Ἑλλήνων, διό τῷ τὴν παροῦσαν κομίζοντι τῷ τοῦ θελήγῳ σοι ἐπιστέλλω τραγῳδίαν, καὶ τοὺς τοῦ σοφωτάτου Ἀντωνίου τοῦ Ἐπάρχου ἐλέγους, ἄμφω νεωστὶ τετυπωμένα, ἃ μὴ κομίσῃ οὐ δῶρον, μικρὸν γάρ, ἀλλὰ σημεῖον τῆς πρὸς ὑμᾶς φιλίας. Ἔρρωσον. Ἐλαφηβολιῶνος ζ' ἱσταμένου ‚αφμδ'. Ἐνετίησιν. Πατὴρ δὲ ὁ ἐμὸς καὶ ἀδελφὸς τὸ χαίρε σοι κομίζουσι, καὶ ἐν οἷς οἷοί ἐσμεν ὑπισχνούμεθα. (Adresse:) Τῷ σοφῷ καὶ ἐλλογίμῳ ἀνδρὶ Ἀλεξάνδρῳ τῷ Νεγκέλῃ. Ζακύνθῳ.

Καὶ ἐν συνεχείᾳ παρατίθεται (ἐν τῷ αὐτῷ κώδικος, f. 60r) ἀπόσπασμα τῆς ἐπιστολῆς τοῦ Ἀλεξάνδρου Νεγκέλη πρὸς τὸν Ἀνδρέαν Τζουντᾶν [1545]:

« Ἐνθυμηθεὶς τὴν πάλαι μοι πεμφθεῖσαν ἐπιστολήν, φίλτατ' Ἀνδρέα, ἀπο-

./.